[illegible]

καὶ ὁ Β ἄρα κύβος ἐστίν· καὶ ἐπεί ἐστιν ὡς ἡ μονὰς πρὸς τὸν Α, ὁ
Α πρὸς τὸν Β· ἡ δὲ μονὰς τὸν Α μετρεῖ κατὰ τὰς ἐν αὐτῷ
μονάδας· καὶ ὁ Α ἄρα τὸν Β μετρεῖ κατὰ τὰς ἐν αὐτῷ μο-
νάδας· ὁ Α ἄρα ἑαυτὸν πολλαπλασιάσας κύβον τὸν
Β πεποίηκεν· ἐὰν δὲ ἀριθμὸς ἑαυτὸν πολλαπλα-
σιάσας κύβον ποι-
ῇ, καὶ αὐτὸς κύβος
ἔσται· κύβος ἄρα καὶ
ὁ Α. ὅπερ οὐχ ὑπό-
κειται· οὐκ ἄρα ὁ Δ
κύβος ἐστίν· ὁμοί-
ως δὴ δείξομεν ὅ-
τι οὐδ' ἄλλος οὐδεὶς
κύβος ἐστὶ χωρὶς τοῦ τετάρτου ἀπὸ τῆς μονάδος καὶ
τῶν δύο διαλειπόντων· ὅπερ ἔδει δεῖξαι :—



ια Ἐὰν ἀπὸ μονάδος ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον
ὦσιν, ὁ ἐλάσσων τὸν μείζονα μετρεῖ κατά τινα τῶν ὑ-
παρχόντων ἐν τοῖς ἀνάλογον ἀριθμοῖς· ἔστωσαν
ἀπὸ μονάδος τῆς Α ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀ-
νάλογον οἱ Β Γ Δ Ε· λέγω ὅτι τῶν Β Γ Δ Ε ὁ ἐλάσσων ὁ Β
τὸν Ε μετρεῖ κατά τινα τῶν Γ Δ. ἐπεὶ γάρ ἐστιν ὡς ἡ Α
μονὰς πρὸς τὸν Β, οὕτως ὁ Δ
πρὸς τὸν Ε, ἰσάκις ἄρα ἡ Α
μονὰς τὸν Β ἀριθμὸν μετρεῖ
καὶ ὁ Δ τὸν Ε· ἐναλλὰξ ἄρα
ἰσάκις ἡ Α μονὰς τὸν Δ



[illegible]

μετρεῖ καὶ ὁ Β τὸν Ε· ἡ δὲ Α μονὰς τὸν Δ μετρεῖ κατὰ τὰς ἐν
αὐτῷ μονάδας· καὶ ὁ Β ἄρα τὸν Ε μετρεῖ κατὰ τὰς ἐν τῷ
Δ μονάδας· ὥστε ὁ ἐλάσσων ὁ Β τὸν μείζονα τὸν Ε μέ-
τρεῖ κατά τινα ἀριθμὸν τῶν ὑπαρχόντων ἐν τοῖς ἀ-
νάλογον ἀριθμοῖς· ὅπερ ἔδει δεῖξαι :—

ιβ Ἐὰν ἀπὸ μονάδος ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον
ὦσιν, ὑφ' ὅσων ἂν ὁ ἔσχατος πρώτων ἀριθμῶν με-
τρῆται, ὑπὸ τῶν αὐτῶν καὶ ὁ παρὰ τὴν μονάδα με-
τρηθήσεται· ἔστωσαν ἀπὸ μονάδος ὁσοιδηποτοῦν
ἀριθμοὶ ἀνάλογον οἱ Α Β Γ Δ· λέγω ὅτι ὑφ' ὅσων ἂν ὁ
Δ πρώτων ἀριθμῶν μετρῆται, ὑπὸ τῶν αὐτῶν καὶ ὁ
Α μετρηθήσεται· μετρείσθω γὰρ ὁ Δ ὑπό τινος πρώ-
του ἀριθμοῦ τοῦ Ε· λέγω ὅτι ὁ Ε τὸν Α μετρεῖ. μὴ γὰρ
μετρείτω ὁ Ε τὸν Α· καί ἐστιν ὁ Ε πρῶτος· ἅπας δὲ
πρῶτος ἀριθμὸς πρὸς ἅπαντα ὃν μὴ μετρεῖ πρῶ-
τός ἐστιν· οἱ Ε Α ἄρα πρῶτοι πρὸς ἀλλήλους εἰσίν·
καὶ ἐπεὶ ὁ Ε τὸν Δ μετρεῖ, μετρείτω αὐτὸν κατὰ τὸν Ζ·
ὁ Ε ἄρα τὸν Ζ πολλαπλασιάσας τὸν Δ πεποίηκεν·
πάλιν ἐπεὶ ὁ Α τὸν Δ μετρεῖ κατὰ τὰς ἐν τῷ Γ μονάδας,
ὁ Α ἄρα τὸν Γ πολλαπλασιάσας τὸν Δ πεποίηκεν· ἀλλὰ
μὴν καὶ ὁ Ε τὸν Ζ πολλαπλασιάσας τὸν Δ πεποίηκεν·
ὁ ἄρα ἐκ τῶν Α Γ ἴσος ἐστὶ τῷ ἐκ τῶν Ε Ζ· ἔστιν ἄρα ὡς
ὁ Α πρὸς τὸν Ε, ὁ Ζ πρὸς τὸν Γ· οἱ δὲ Α Ε πρῶτοι· οἱ δὲ
πρῶτοι καὶ ἐλάχιστοι· οἱ δὲ ἐλάχιστοι μετροῦσι τοὺς τὸν αὐτὸν λόγον ἔχον-
τας ἰσάκις ὅ τε ἡγούμενος τὸν ἡγούμενον καὶ ὁ ἑπό-
μενος τὸν ἑπόμενον· μετρεῖ ἄρα ὁ Ε τὸν Γ· μετρείτω αὐ-

[illegible]

BIBLIOTHECA BODLEIANA

EUCLID *Elementa* BYZANTINE, 888 THE BODLEIAN LIBRARY Octavo